## ⟨ΣΩΡΑΝΟΥ ΓΥΝΑΙΚΕΙΩΝ Γ⟩

### 299 Εἰ ἔστιν ἴδια πάθη γυναικῶν.

1 **1.** Ἡ σκέψις προτείνεται καὶ οὕτως, εἰ ἔστιν ἴδια πάθη θηλειῶν,
παρ᾽ ὅσον ἐστὶν εἶδος μὲν ἡ γυνή, γένος δὲ τὸ θῆλυ. τὸ δὲ ʽἴδιον᾽
λέγεται μὲν πολλαχῶς, πρὸς δὲ τὰ παρόντα διχῶς· τό τε μὴ ἑτέρου
(καθ᾽ ὃ σημαινόμενον ἐσθῆτά τις ἰδίαν εἶναί φησιν ὡς ἰδιόκτητον) καὶ
τὸ μὴ ἀλλότριον (καθ᾽ ὃ σημαινόμενον ἑκάτερος τῶν ἀδιαιρέτων ἀδελ-
φῶν ἴδιον λέγει τὸ χωρίον ἢ τὸ ἀνδράποδον καίτοι καὶ τοῦ ἑτέρου
πάντως ὑπάρχοντα). περὶ τοῦ προτέρου δὲ τῶν σημαινομένων ἔστιν
2 ἡ σκέψις. ʽπάθος᾽ δὲ λέγεται τὸ μὲν κατὰ φύσιν (οἷον τὸ συλλαμβάνειν
καὶ ἀποτίκτειν καὶ γάλα ποιεῖν), τὸ δὲ παρὰ φύσιν (οἷον πυρέττειν)
καὶ τοῦ παρὰ φύσιν τὸ μὲν ὡς καθόλου καὶ γενικόν (οἷον τὸ στεγνόν),
τὸ δὲ μερικὸν καὶ ὑποβεβηκός (οἷον τὸ φρενιτικὸν ἢ ληθαργικόν).
ἐνέστηκεν δὲ μάλιστα ὁ λόγος ⟨περὶ⟩ τοῦ παρὰ φύσιν καθ᾽ ὅλου τε
καὶ κατὰ μέρος.

1 **2.** ἡ δὲ ζήτησις εὔχρηστος ἕνεκα τοῦ μαθεῖν, εἰ καὶ ἰδίας τινὸς
θεραπείας χρῄζουσιν αἱ γυναῖκες. καὶ γεγένηται δὲ διαφωνία· τινὲς
μὲν γὰρ ὑπολαμβάνουσιν ἴδια πάθη γίγνεσθαι γυναικῶν, καθάπερ
οἱ ἀπὸ τῆς ἐμπειρίας καὶ Διοκλῆς ἐν τῷ πρώτῳ τῶν
Γυναικείων καὶ τῶν Ἐρασιστρατείων Ἀθηνίων * καὶ Μιλ-
300 τιάδης, τῶν Ἀσκληπιαδείων δὲ Λού|κιος ἐν τῷ τρίτῳ τῶν
Χρονίων καὶ Δημήτριος ὁ Ἀπαμεύς, τινὲς δὲ μὴ γίνεσθαι,

19 sq. Διοκλῆς ἐν τῷ πρώτῳ τῶν Γυναικείων] *fr. 169 p. 196 Wellmann* 20 Ἀθηνίων] *cf. Cels. V 25, 9* 21 sq. Λούκιος ἐν τῷ τρίτῳ τῶν Χρονίων] *cf. Cael. Aurel. Tard. II sq. ʽLucius (Lusius ed. Basil.) primo libro Tardarum passionum᾽; II 111 (ʽsecundo libro T. p.᾽); IV 78 (ʽquarto libro T. p.᾽). Cf. Wellmann, Herm. 35, 369*

3 *in mg.* ϛβ′ *(iterum)* 8 λέγει τὸ *Ermerins*: λεγέτω P καὶ τὸ P: καίτοι *Gomperz*: καίτοι τοῦ *Reinhold* καὶ τοῦ ἑτέρου *Gomperz*: κατέτερον P: καθ᾽ ἑκάτερον (ἕτερον *Ermerins*) *Reinhold* 9 ὑπάρχοντα *Kalbfleisch*: ὑπάρχοντος P: ὑπάρχον *Gomperz* 14 περὶ *add. Ermerins* 17 δὲ P: δὴ *Ermerins* 20—p. 95, 13 ερασιστρα]τιων . . . επε[δεξατο πεισιν *partim traduntur in papyro Aegyptiaca* p *(cf. Praefat. p. X)* 20 αθηνιω[ν p: ἀθηναίων P: Ἀθήναιος *Rose*; *cf. Wellmann, Die pneum. Schule p. 9, 8* *inter* Ἀθηνίων *et* καὶ Μιλτιάδης *papyro suadente in* P *decem fere literae videntur excidisse, quibus libri titulus sive medici Erasistratei nomen traditum erat* 20 sq. τῶν Ἀσκλ. Μιλτ. *Ermerins* 21 δὲ Λούκιος *scripsi (plura non capit papyri fenestra)*: ἐλαιούσιος P: ὁ Ἐλαιούσιος *Ermerins* τρισκαιδεκάτῳ P: τρίτῳ *coni. Ermerins p. XCVIII sq.*: *scriptum videtur fuisse* ἐντῶιγ̈ *(cf. p. 129, 20; 149, 17)*